www.tezaurliturgic.ro

ΧΑΙΡΕΤΙΣΜΟΙ
ΚΑΙ
ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

# ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

# ΑΓΙΟΝ ΜΗΝΑΝ



(ΑΓΙΟΝ ΟΡΟΣ)

www.tezaurliturgic.ro

# ΟΙ ΑΓΙΟΙ



ΜΗΝΑΣ, ΒΙΚΤΩΡ, ΒΙΚΕΝΤΙΟΣ

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΜΟΙ

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑΣ

# ΜΗΝΑΝ ΒΙΚΤΩΡΑ ΚΑΙ ΒΙΚΕΝΤΙΟΝ

---

ΥΠΟ
ΝΗΦΩΝΟΣ ΜΟΝΑΧΟΥ ΙΒΗΡΟΣΚΗΤΙΩΤΟΥ
(ΑΓΙΟΝ ΟΡΟΣ)

## ΚΟΝΤΑΚΙΟΝ

*Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.*

*Τὸν τοῦ Χριστοῦ παναληθῆ Μεγαλομάρτυρα,*
*Ἀνευφημήσωμεν πιστοὶ Μηνᾶν τὸν Ἔνδοξον,*
*Τὸν ἡμῶν τε ῥύστην φύλακα καὶ προστάτην.*
*Καὶ αὐτὸν ὑπὲρ ἡμῶν πρὸς τὸν φιλάνθρωπον,*
*Πρέσβυν γνήσιον κτησώμεθα καὶ ἔνθερμον,*
*Τούτῳ κράζοντες· Χαίροις, Μάρτυς Πανένδοξε.*

www.tezaurliturgic.ro



Ἄγγελος ἐν ἀνθρώποις, καὶ βροτὸς ἐν Ἀγγέλοις, Μηνᾶ Μεγαλομάρτυς ἐδείχθης· (γ) τὸν γὰρ βίον ὅλον τῷ Θεῷ σου, σὺ ἀφιερώσας, χάριν εὕρηκας, ἀθλήσας μέχρις αἵματος· διὸ καὶ παρ' ἡμῶν ἀκούεις·

Χαῖρε, Αἰγύπτου ὁ μέγας γόνος·
χαῖρε, θαυμάτων πλημμύρας Νεῖλος.

Χαῖρε, εὐσεβείας ὁ θεῖος συνήγορος·
χαῖρε, ἀσεβείας ὁ ὄντως κατήγορος.

Χαῖρε, ὅτι σὺ ἐξήνθησας ῥόδον ὡς ἐξ ἀκανθῶν·
χαῖρε, ὅτι σὺ ἐβλάστησας εὐσεβὴς ἐξ ἀσεβῶν.

Χαῖρε, ὁ τῆς στρατείας τῆς ἀθέου ἐκκλίνας·
χαῖρε, πίστιν πατρῴαν τῆς ὀρθῆς μὴ προκρίνας.

Χαῖρε, Μηνᾶ τὸν βίον ἰσάγγελε·
χαῖρε, Μηνᾶ θλιβομένων ἄγγελε.

Χαῖρε, μιᾷ χειρὶ λόγχην ὁ φέρων·
χαῖρε, ἑτέρᾳ Σταυρὸν Χριστοῦ αἴρων.

Χαῖρε, Μάρτυς Πανένδοξε

Βλέπων κυριαρχοῦσαν, τὴν ἀσέβειαν τότε. Μηνᾶς ὁ θεοστήρικτος στῦλος, φυγαδεύει ὡς ἄλλος Ἠλίας, ἄσκησιν ποιούμενος ἐν ὄρεσιν, νηστείαις δὲ καὶ εὐχαῖς τελειούμενος, Θεῷ κραυγάζει·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Γνοὺς τὰ πάντα ἐκ θείας, θεοφόρε προνοίας, κατῆλθες ἐκ τοῦ ὄρους καὶ ὤφθης, αὐτεπάγγελτος πρὸς τὸν λαόν, Μηνᾶ καὶ Χριστοῦ κηρύξας θεότητα, τοὺς μὲν κατήσχυνας, τοὺς δὲ παρώτρυνας βοᾶν σοι ταῦτα·

Χαῖρε, ὁ κήρυξ τῆς εὐσεβείας·
χαῖρε, ὁ μύστης Θεοῦ σοφίας.

Χαῖρε, Ἀσκητῶν καὶ Μαρτύρων ἡ ἕνωσις·
χαῖρε, συνδυάζων ἀνδρείαν καὶ φρόνησιν.

Χαῖρε, ὅτι φόβον δέδωκας τοῖς ἀπίστοις καὶ πιστοῖς·
χαῖρε, ὅτι χάριν εἴληφας τοῦ φρουρεῖν τοὺς εὐσεβεῖς.

Χαῖρε, ὁ τῶν εἰδώλων ἀπελέγξας τὸ σέβας·
χαῖρε, ὁ τῶν δαιμόνων κατασείσας τὸ κέρας.

Χαῖρε, δι' οὗ ἡττήθη ὁ τύραννος·
χαῖρε, δι' οὗ ἐτρώθη διάβολος.

Χαῖρε, σοφῶς τοὺς ἀσόφους αἰσχύνας·
χαῖρε, Μηνᾶ τοὺς πιστοὺς ἐνθαρρύνας.

Χαῖρε, Μάρτυς Πανένδοξε

Δύναμις τοῦ Ὑψίστου, δυνατὸν ἐν τῷ λέγειν, κατέστησε, Μηνᾶ, καὶ τῷ πάσχειν· Στρατιῶται γὰρ οἱ ἀσεβεῖς, σύροντες καὶ δέροντες σὲ τὸν δίκαιον, παρέστησαν Πύρρῳ τῷ ἡγεμόνι, μὴ εἰδότι ψάλλειν·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Ἔχων ὁ θεῖος Βίκτωρ, τὴν εὐσέβειαν ὤφθη, τυράννῳ τῷ δεινῷ Ἀντωνίνῳ· ὃς κηρύξας τὸν Χριστόν, κατὰ κεφαλῆς κρεμᾶται, ὀφθαλμοὺς ἐξορύττεται, καὶ κάκωσιν ὑποστὰς τὴν πανώδυνον, ἀκούει·

Χαῖρε, τὸ ἄστρον τῆς Ἰταλίας·
χαῖρε, ὁ ῥήτωρ τῆς ἀληθείας.

Χαῖρε, ὁ πιὼν μετ' ὄξους δηλητήριον·
χαῖρε, ἀσεβῶν κραταιὸν ἀμυντήριον.

Χαῖρε, ὅτι θλᾶσιν ἔφερες τῶν δακτύλων Ἀθλητά·
χαῖρε, ὅτι πόσιν ἔπιες τοῦ Δεσπότου μιμητά.

Χαῖρε, ὅτι ἐβλήθης ἐν πυρᾷ τῆς καμίνου·
χαῖρε, ὅτι εἰσέδυς κοχλάζοντι ἐλαίῳ.

Χαῖρε, δεινῶς τὰς ἶνας ἐκσπώμενος·
χαῖρε, τὰς κόρας φρικτῶς ἀφαιρούμενος.

Χαῖρε, σοῦ γὰρ κατεκόπησαν νεῦρα·
χαῖρε, σοῦ γὰρ ἐξεδάρη τὸ δέρμα.

**Χαῖρε, Βίκτωρ Πανένδοξε**

Ζέων τοῦ θείου πόθου, Βίκτωρ, πάντα ἀνδρείως, τὰ εἴδη τῶν βασάνων ὑπέστη· εἶτα τὴν δορὰν ἀφαιρεθεὶς νικητὴς ὁ καὶ τῆς νίκης ἐπώνυμος, καὶ μέλλοντα προλέγων, παρατίθησι Θεῷ τὸ πνεῦμα, κράζων·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Ἤκουσεν ἐκ χειλέων, ὁ τοῦ σκότους προστάτης, τοῦ Μάρτυρος λαλοῦντος τὰ θεῖα· καὶ καθείργνυσιν ἐν τῇ φρουρᾷ Μηνᾶν, τὸν ἐν τοῖς δικαίοις δίκαιον καὶ ἄμεμπτον, πρὸς ὃν μετ' εὐλαβείας ἐκβοῶμεν αὖθις·

Χαῖρε, Χριστοῦ ὁ Κῆρυξ καὶ Μάρτυς·
χαῖρε, ἡμῶν φρουρὸς καὶ προστάτης.

Χαῖρε, Μηνᾶ τῇ ἀρετῇ περιβόητος·
χαῖρε, Μαρτυρίου ἰδὼν ἀποκάλυψιν.

Χαῖρε, ὅτι ἐταζόμενος ὡμολόγεις τὸν Χριστόν·
χαῖρε, ὅτι αἰκιζόμενος ὑμνολόγεις τὸν Θεόν.

Χαῖρε, ἕως ὀστέων ἐκτριβεὶς δι' ὀνύχων·
χαῖρε, διαλυθεὶς ὅλος πληγαῖς ἀφορήτοις.

Χαῖρε, Χριστοῦ Μαρτύρων παμμέγιστε·
χαῖρε, πιστῶν ἁπάντων πανθαύμαστε.

Χαῖρε, φλεχθεὶς τὰς πληγὰς ταῖς λαμπάσι·
χαῖρε, συρεὶς καὶ δαρεὶς σαρκὶ πάσῃ.

Χαῖρε, Μάρτυς Πανένδοξε

Θέλων κατεξεοχίσθης, ὑπὲρ πίστεως, Μάρτυς, ἐν ῥάκεσι τριχίνοις τὰ ἕλκη, εἶτα καὶ λαμπάδων τὴν πυράν, δέχῃ ἐπὶ τούτοις, Μηνᾶ πανεύφημε, δοξάζων τὸν ἰσχύοντά σε Κύριον καὶ πόθῳ κράζων·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Ἴδον οἱ ἀπιστοῦντες, τὴν ἐν σοὶ καρτερίαν, καὶ ἐθαύμαζον τὴν σὴν ἀνδρείαν· ἔβλεπον πιστοὶ Μηνᾶν, πρὶν πάνοπλον Στρατηγόν, νῦν γυμνὸν αἱμόφυρτον ἐν γῇ ἀφειδῶς πλήττεσθαι ταῖς μάστιξι καὶ ἀνεβόων·

Χαῖρε, Μαρτύρων Χριστοῦ ἡ δόξα·
χαῖρε, στρατοῦ πιστοῦ Στρατηλάτα.

Χαῖρε, ἐπὶ ξύλου Μηνᾶ τεινόμενος·
χαῖρε, κατὰ γῆς τὰ ἕλκη συρόμενος.

Χαῖρε, ὅτι δέχῃ κάκωσιν ἐν τριβόλοις σιδηροῖς·
χαῖρε, ὅτι σοῦ ἐφάνη τὰ σπλάγχνα ἐν τοῖς ξεσμοῖς.

Χαῖρε, ὁ ὑπομείνας μάστιγας ἐν τραχήλῳ·
χαῖρε, ὁ διαμείνας ἀκλινὴς ὥσπερ στῦλος.

Χαῖρε, σὺ γὰρ ῥαβδισμοὺς ὑπήνεγκας·
χαῖρε, σὺ γὰρ ξεσμοὺς ἐκαρτέρησας.

Χαῖρε, διαλωβηθεὶς ἅπαν τὸ σῶμα·
χαῖρε, καταξεσθεὶς σάρκας καὶ δέρμα.

Χαῖρε, Μάρτυς Πανένδοξε

Κοτυαείῳ Φρυγίας, τελευτὴν διὰ ξίφους, Μηνᾶς δέχεται χαίρων κελεύσας, εἰς Αἴγυπτον ταφῆναι αὐτοῦ σῶμα, οὗ τῷ τάφῳ, πιστῶν συνέρρεον ἐπὶ αἰῶνας, τὰ πλήθη, καὶ πλεῖστα θαύματα ἐτέλει τοῖς βοῶσιν·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Λάμπει καὶ ὁ σὺν τούτοις, ὡς Ἀστὴρ φωτοφόρος, Βικέντιος ὁ Ἱερομάρτυς· ὅς τοῦ Χριστοῦ Διάκονος ὤν, πλήρης τε χάριτος καὶ ἁγιότητος, Δατιανὸν τιτρώσκει τὸν ἐπάρατον· ἐφ' ᾧ βοῶμεν·

Χαῖρε, Σωτῆρος Σταυρὸν ποθήσας·
χαῖρε, δεχθεὶς κάθειρξιν καὶ ἁλύσους.

Χαῖρε, Ἱσπανίας τὸ ἔξοχον καύχημα·
χαῖρε, Διακόνων τὸ θεῖον ἐντρύφημα.

Χαῖρε, ὅτι φέρῃ σταύρωσιν καὶ τοὺς ἥλους διὰ Χριστόν·
χαῖρε, ὅτι πρὸς βασάνους ἀποκαθηλώθης ἔτι ζῶν.

Χαῖρε, ὁ καρτερήσας τὰς στρεβλώσεις καὶ ξέσεις·
χαῖρε, ὁ κεντηθεὶς σούβλαις πυρακτωθείσαις.

Χαῖρε, δαρμοὺς γὰρ μελῶν κατεφρόνησας·
Χαῖρε, Θεοῦ ὅς θέαν ἀπέλαβες.

Χαῖρε, γενόμενος ἔξαρθρος ὅλος·
χαῖρε, φλεγόμενος τὰς πλευρὰς ὅλας.

Χαῖρε, Μάρτυς Βικέντιε

Μείνας φρουρᾷ, παντοίας, τ' ὑπομείνας βασάνους, Βικέντιος, Σταυρῷ ἐκρεμάσθη· καὶ ράβδους σιδηρᾶς πυρωθείσας ἐπὶ τοῦ στήθους δέχεται· ἐν εἱρκτῇ δὲ θείας ἐπισκέψεως καὶ στέφους ἀξιοῦται, ψάλλων·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Νίκης φέρων βραβεῖα, τῷ Δεσπότῃ ὡς Μάρτυς, παρέστης, ὦ Μηνᾶ, στεφηφόρος· ἀλλὰ καὶ μὴ παύσῃ Ἀθλητά, τοῦ πρεσβεύειν ὑπὲρ ἁπάντων πάντοτε, προστάτην κεκτημένων σε, βοώντων τε γενναῖε, ταῦτα·

Χαῖρε, ὁ μέγας φανεὶς τῷ λέγειν·
χαῖρε, ὁ μείζων δειχθεὶς τῷ πράττειν.

Χαῖρε, ἰσχυρὸς ὑποδούλων ὑπέρμαχος·
χαῖρε, τρομερὸς κατακτητῶν ἀντίπαλος.

Χαῖρε, Ἡράκλειον Κρήτης σώσας σφαγῶν ὁμαδικῶν·
χαῖρε, εἰς Ἐλ-Ἀλαμέϊν συντρίψας ἀήττητον στρατόν.

Χαῖρε, τοὺς σὲ καλοῦντας ἐκ κινδύνων ὁ σώζων·
χαῖρε, ὁ τοῖς αἰτοῦσί σε ταχέως προφθάνων.

Χαῖρε, λαοῦ σου μέγα προπύργιον·
χαῖρε, παντὸς ὁ ῥύστης ὁ τάχιστος.

Χαῖρε, πιστῶν οἰκετῶν σου ὁ φύλαξ·
χαῖρε, Χριστοῦ Ἀθλοφόρων ὁ γίγας.

Χαῖρε, Μάρτυς Πανένδοξε

Ξένα τὰ σὰ ὁρῶντες, ἐξίσταντο, Μηνᾶ, ὁ ἐπίορκος σὺν τῷ Ἰουδαίῳ· τὸν γὰρ πταίστην φανεροῖς, φανεὶς ἔφιππος τῇ αὐτοῦ γυναικί, προστάξας χρυσὸν δοῦναι, καὶ ἄπιστον πιστοῖς τὸν βαπτισθέντα κράζειν·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Ὅλος ἔκθαμβος ὤφθη, ἐπὶ σοί, ὁ φονεὺς ἰδὼν θαῦμα τελούμενον χερσί σου· τὰ γὰρ κατατμηθέντα νεκροῦ μέλη συναρμόσας, τὸν οἰκτρῶς διαμελισθέντα σὺ ἀνέστησας, προσπίπτοντά σοι καὶ βοῶντα·

Χαῖρε, ζωὴν πτώματί μου χαρίσας·
χαῖρε, φονέα μου συγχωρήσας.

Χαῖρε, ὁ ἐν ἵππῳ διατρέχων τὰ πέρατα·
χαῖρε, σὺν Θεῷ ποιῶν σημεῖα καὶ τέρατα.

Χαῖρε, ὁ ἐμφανιζόμενος μετὰ θάνατον πολλοῖς·
χαῖρε, ὅτι σώζεις τούτους καὶ τοὺς ἐνόχους νουθετεῖς.

Χαῖρε, ὁ ἀναστήσας τὸν κακῶς φονευθέντα·
χαῖρε, ὁ ἐκφοβήσας τὸν ψευδῶς ἀρνηθέντα.

Χαῖρε, ὁ δοὺς τῷ μὲν ἀναζώωσιν·
χαῖρε, ὁ δοὺς τῷ δὲ τὴν συγχώρησιν.

Χαῖρε, Μηνᾶ τιμωρὲ τῶν ἀνόμων·
χαῖρε, Μηνᾶ βοηθὲ τῶν ἀθώων.

Χαῖρε, Μάρτυς Πανένδοξε

Πᾶσα φυλὴ ἀνθρώπων, θαυμαστὸν σὲ γινώσκει, καὶ τιμᾷ Μεγαλώνυμε Μάρτυς· Αἴγυπτος χαίρει τοὺς πλέον μεγάλους Ἁγίους δείξασα. Ἰησοῦς γὰρ Παιδίον οἰκήσας ταύτην ηὐλόγησεν, μεθ᾽ ὃν κραυγάζεις·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Ῥήτορας μυθοπλάστας, κατεφίμωσαν ὄντως, Βικέντιος, Μηνᾶς τε καὶ Βίκτωρ· ἐν τρισὶ τόποις, ἕνα οἱ τρεῖς, Θεὸν κηρύττοντες· Τοῦτον καὶ λατρεύομεν, Τοῦτον καὶ πιστεύομεν ἐκραύγαζον, πρὸς οὓς βοῶμεν·

Χαίρετε, μύθων ἀρχαίων παῦσις·
χαίρετε, μόνου Θεοῦ ἡ λάμψις.

Χαίρετε, Τριάδος οἱ ἔνθερμοι Μάρτυρες·
χαίρετε, Χριστὸν ὡς ὀλίγοι λατρεύσαντες.

Χαῖρε, Βίκτωρ καρτερόψυχε θείας δόξης κοινωνέ·
χαῖρε, Διάκονε Βικέντιε καὶ Μηνᾶ θαυματουργέ.

Χαίρετε, παραστάται φρικτῷ θρόνῳ Κυρίου·
χαίρετε, ἀριστάρχαι ἐν χορῷ τῶν Μαρτύρων.

Χαίρετε, οὓν ἐν κόσμῳ πανεύφημοι·
χαίρετε, Παραδείσου οἱ μέτοχοι.

Χαίρετε, ρήτορες Θεοῦ δογμάτων·
χαίρετε, πίδακες ζωῆς ρημάτων.

Χαίρετε, Μάρτυρες Ἔνδοξοι

Σὲ τὸν μέγαν Ὁπλίτην, τοῦ Χριστοῦ, Μηνᾶ θεῖε, τιμῶμεν ἐν ᾠδαῖς τε καὶ ὕμνοις· ἅμα τε Βικέντιον καὶ Βίκτωρα, τοὺς τῆς ἀληθείας πανευκλεεῖς ἐκφάντορας, καὶ πίστεως ἀδάμαντας, μεθ' ὧν βοῶμεν·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Τρίστομον ὡσεὶ βέλος, κατ' ἐχθρῶν νοουμένων, ἐδείχθητε, Χριστοῦ 'Αθλοφόροι, καὶ κατὰ τῆς πλάνης, ἰσχυροί, ἔνδοξοι, Μηνᾶ, Βίκτωρ καὶ Βικέντιε, φρουροῦντες τοὺς προστρέχοντας τῇ σκέπῃ ὑμῶν καὶ βοῶντας·

Χαίρετε, πύργοι τῆς 'Εκκλησίας·
χαίρετε, τείχη τῆς εὐσεβείας.

Χαίρετε, Τριάδος οἱ τρεῖς θεοκήρυκες·
χαίρετε, τοῦ Κόσμου οἱ τρεῖς θεοφύλακες.

Χαῖρε, Βίκτωρ γενναιότατε καὶ Μηνᾶ χαῖρε σοφέ·
χαῖρε, ἔνδοξε Βικέντιε 'Ιερόαθλε στερρέ.

Χαίρετε, στέφανος γὰρ ὑμᾶς κυκλοῖ Μαρτυρίου·
χαίρετε, οἱ κυκλοῦντες ἡμᾶς ὥραις κινδύνου.

Χαίρετε, βέλη τὰ θεοτόξευτα·
χαίρετε, ὅπλα ἐχθροὺς νεκρώσαντα.

Χαῖρε, τριὰς τῆς 'Ακτίστου Τριάδος·
χαῖρε, τριὰς Τρισακτίνου Μονάδος.

Χαίρετε, Μάρτυρες Ἔνδοξοι

Ὕμνος τριπλοῦς σοι πρέπει, τῇ ἐνύλῳ τριάδι, Τριάδος τῆς ἀΰλου καὶ θείας· 'Αθλοφόροι τρεῖς θεοπρεπεῖς, Μηνᾶ, Βίκτωρ καὶ Βικέντιε Πάνσοφοι, οἱ κήρυκες φανέντες τῆς Θεότητος, ἀεὶ βοᾶτε·

'Αλληλούϊα

www.tezaurliturgic.ro



Φίλοι Πατρὸς Υἱοῦ καὶ θείου Πνεύματος ὄντες, τῆς μόνης Τριφεγγοῦς Θεαρχίας, ἀνάκτορα νῦν ἀχειροποίητα οἰκοῦντες, ὁρᾶτε ἃ ἄνθρωπος οὐκ εἶδε, οὐδὲ ἤκουσε ποτέ, ἀκούοντες τοιαῦτα·

Χαίρετε, ἄνθη τοῦ Παραδείσου·
χαίρετε, ὄντως οἱ τρεῖς ἐξ ἴσου.

Χαίρετε, ἀθλήσαντες ἐν ὕλῃ ὡς ἄϋλοι·
χαίρετε, δοξάσαντες Τριάδα τὴν ἄϋλον.

Χαίρετε, πλήμμυραι, χείμαρροι καὶ θαυμάτων ποταμοί·
χαίρετε, ἥλιοι, ἀστέρες καὶ φωστῆρες οἱ λαμπροί.

Χαίρετε, θεαταὶ τῆς Οὐρανῶν Βασιλείας·
χαίρετε, ἀκροαταὶ Ἀγγέλων συναυλίας.

Χαίρετε, οἱ Ἀγγέλους μιμούμενοι·
χαίρετε, τοὺς Ἀνθρώπους λυτρούμενοι.

Χαίρετε, ἀδικουμένων προστάται·
χαίρετε, Χριστιανῶν παραστάται.

Χαίρετε, Μάρτυρες Ἔνδοξοι

Χάριτος ἠξιώθης τῶν Ὁσιομαρτύρων, Μηνᾶ, διὸ κατ' ἄμφω ἐστέφθης· καὶ ὡς Μάρτυς μετὰ Ἀθλητῶν, αἶνον σὺ ἀναπέμπεις τῷ Σωτῆρι σου, ὡς Ὅσιος μετὰ τῶν Ἀσκητῶν δέ, ἐν Οὐρανῷ κράζεις·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



Ψάλλοντές σοι τὸν ὕμνον. ἐν τῷ θείῳ Ναῷ σου, αἰτοῦμεν, σήν, Μηνᾶ, προστασίαν· σῶζε οὖν ἐκ παθῶν, πειρασμῶν καὶ κινδύνων, ταῖς πρὸς Θεὸν πρεσβείας σου, τοὺς πόθῳ προσκυνοῦντας τὴν σεπτήν σου Εἰκόνα, καὶ βοῶντας·

**Χαῖρε, εὐχῶν εἰσακούων Μάρτυς·**
**χαῖρε, κρυπτὰ φανερῶν ἐν τάχει.**

Χαῖρε, ἀστραπὴ πάθη φλέγουσ' ἀνίατα·
χαῖρε, κεραυνὲ πονηρὰ πλήττων πνεύματα.

Χαῖρε, τόξον τὸ ὀξύτατον ἐκδιῶκον τοὺς ἐχθρούς·
χαῖρε, ξῖφος θεοχάλκευτον κατακόπτον τε αὐτούς.

Χαῖρε, ὁ τοὺς ἀλάλους καὶ χωλοὺς θεραπεύσας·
χαῖρε, ὁ τοὺς ἀτάκτους ἀσελγεῖς ἐκπαιδεύσας.

Χαῖρε. Θεοῦ τῇ δόξῃ τιμώμενος·
χαῖρε. ὑπὸ λαοῦ ἀγαπώμενος.

Χαῖρε. ὅτι μετὰ Βίκτωρος χαίρεις·
χαῖρε, ὅτι Βικεντίῳ συγχαίρεις.

Χαῖρε. Μάρτυς Πανένδοξε

Ὦ τριὰς τῶν Μαρτύρων, Τρισηλίου Τριάδος, Βικέντιε Μηνᾶ τε καὶ Βίκτωρ· (γ) δεξάμενοι τοὺς ὕμνους ἡμῶν. ἐκ παντοίων νῦν συμφορῶν καὶ θλίψεων λυτρώσασθε, τοὺς τῇ ἀδιαιρέτῳ Τριάδι βοῶντας·

Ἀλληλούϊα

www.tezaurliturgic.ro



## ΑΠΟΛΥΤΙΚΙΟΝ

Ἦχος δ'.

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

## ΑΠΟΛΥΤΙΚΙΟΝ

Ἦχος πλ. α'.

Τοὺς μεγίστους ἀγῶνας τοῦ μαρτυρίου σου, καρτεροψύχως ἀνύσας, Μεγαλομάρτυς Μηνᾶ, οὐρανίων δωρεῶν λαμπρῶς ἠξίωσαι, καὶ θαυμάτων αὐτουργός, ἐκ Θεοῦ ἀναδειχθείς, προστάτης ἡμῖν ἐδόθης, καὶ βοηθὸς ἐν ἀνάγκαις, καὶ ἀντιλήπτωρ ἐναργέστατος.

## ΚΟΝΤΑΚΙΟΝ

Ἦχος πλ. δ'.

Ὡς εὐσεβείας Μάρτυρας, καὶ Ἀθλητὰς θεόφρονας, ἡ Ἐκκλησία γεραίρει δοξάζουσα, τοὺς θείους ἄθλους σήμερον, Μηνᾶ τοῦ Ἀθλοφόρου, Βίκτωρος τοῦ γενναίου, καὶ Βικεντίου τοῦ γενναιόφρονος· καὶ ποθοῦσα κραυγάζει, δοξάζουσα τὸν φιλάνθρωπον.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# ΜΗΝΑΝ

---

Εὐλογήσαντος τοῦ Ἱερέως ἀρχόμεθα τοῦ ψαλμοῦ
Ψαλμὸς ΡΜΒ΄. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσακουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς

www.tezaurliturgic.ro



λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Εὐθὺς εἰς Ἦχον δ΄.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

(τετράκις)

Καὶ τὸ Τροπάριον. Ἦχος Δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

Τῷ Ἀθλοφόρῳ οἱ πιστοὶ ὁμοφρόνως, δεῦτε προσπέσωμεν ὁμοῦ ἐκβοῶντες, οἱ ἁμαρτήμασι βαρυνόμενοι σὺν δάκρυσι· σπεῦσον παναοίδιμε, Ἀθλητὰ τοῦ Κυρίου, σαῖς πρὸς τὸν οἰκτίρμονα, ἱκεσίαις θεόφρον, παντὸς κινδύνου νόσων χαλεπῶν, Μηνᾶ παμμάκαρ, ἀπάλλαξον ἅπαντας.

Δόξα Πατρί... Καὶ νῦν... Θεοτοκίον.

Τῇ Θεοτόκῳ μετὰ δέους ἐμφρόνως, πάντες προσδράμωμεν κραυγάζοντες πόθῳ, Ὑπεραγία Δέσποινα Πανύμνητε, ῥῦσαι τῷ ἐλέει σου, ἀδοκήτων κινδύνων,

www.tezaurliturgic.ro



πάσης περιστάσεως καὶ κολάσεως τάχος, καὶ πάσης νόσων λύμης, ἀγαθή, εὐλογημένη Μαρία Θεόνυμφε.

Εἶτα τὸν Ν΄. Ψαλμόν.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς

www.tezaurliturgic.ro



σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὁ Κανών

Ὠδὴ Α΄. Ἦχος Πλ. Δ΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς πρὸς Χριστόν σου ἱκεσίαις Ἅγιε, Μηνᾶ πανεύφημε, ῥῦσαι ἡμᾶς τάχος, τῶν δεινῶν καὶ θλίψεων, καὶ πάσης περιστάσεως, καὶ νοσήματος μάκαρ· σὲ γὰρ προστάτην κεκτήμεθα, πρὸς Θεὸν Πανεύφημε ἅπαντες.

Ὄλβιος πέλεις παρρησίαν κτώμενος, πρὸς τὸν Χριστόν, Ἀθλητά· δώρησαι σοῖς δούλοις, τὰς αἰτήσεις τάχιστα· πίστει γάρ σοι κραυγάζουσιν, Ἀθλοφόρων τὸ κλέος, Μηνᾶ Μαρτύρων ἀγλάϊσμα, ῥῦσαι τοὺς πιστῶς εὐφημοῦντάς σε.

Δόξης ἐνθέου ἱερᾶς λαμπρότητος, εἰς τὰ Οὐράνια, ἀξιωθεὶς μάκαρ, λάμψει τῶν ἀγώνων σου, παράσχου τοῖς ἱκέταις σου, τὰ αἰτήματα Μάρτυς, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου, ἔνδοξε Μηνᾶ ἀξιάγαστε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἡ ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, εὐλογημένη Ἁγνή, ἄνθος δωρημάτων, Παρθενίας τέμενος, τοῦ Οὐρανοῦ ὑπέρτερε, Παραδείσου τὸ κάλλος, τῶν Ἀσωμάτων εὐπρέπεια, ῥῦσαι τοὺς πιστῶς προσκυνοῦντάς σε.

Ὠδὴ Γ'. Οὐρανίας ἁψῖδος...

Παροξύνας ἀμέτρως, τὸν Λυτρωτὴν ἔνδοξε, πράξεσι μυρίοις, καὶ κακουργήμασι, νῦν περιπέπτωκα, δεινοῖς παντοίοις, ὁ τάλας, ἐξ ὧν μὲ ἀπάλλαξον ταῖς ἱκεσίαις σου.

Ὁ Θεός σε Παμμάκαρ, τῶν Ἀθλητῶν καύχημα, ἔδειξεν ἐν κόσμῳ προστάτην, τῶν εὐφημούντων σε. Διὸ οἰκτείρησον, ταῖς πρὸς Χριστόν σου πρεσβείαις, τοὺς πιστῶς τιμῶντάς σε, Μηνᾶ θαυμάσιε.

Θαυμασίων σε μάκαρ, ὑπερφυῶν ἔνδοξε, γνόντες αὐτουργόν σε θεόφρον, πάντες οἰόμεθα, πλουτεῖν σε Ἅγιε, πρὸς τὸν Χριστὸν παρρησίαν, ὃν ἡμῖν ἱλέωσαι, Μηνᾶ ἀοίδιμε.

Θεοτοκίον.

Ὡς πανάμωμος Μήτηρ, τοῦ ποιητοῦ Ἄχραντε, ὡς ἁγιωτέρα ἁπάντων, τῶν ἄνω Δέσποινα, ὡς πάντων Ἄνασσα, Εὐλογημένη Μαρία, ῥῦσαι τοὺς ὑμνοῦντάς σε, Ἀειμακάριστε·

Ὠδὴ Δ'. Σύ μου ἰσχὺς Κύριε...

www.tezaurliturgic.ro



Σύ με ἀεί, Ἅγιε, τῶν περιστάσεων, σὺ κινδύνων, σὺ καὶ τῆς κολάσεως, παντὸς κακοῦ καὶ τῶν δυσχερῶν, ταῖς πρὸς τὸν Δεσπότην, ἀπάλλαττε ἱκεσίαις σου, Μαρτύρων ἡ λαμπρότης, Ὀρθοδόξων τὸ κλέος, παρασχὼν τὰ αἰτήματα τάχιστα.

Ὁλοσχερῶς, ἐπὶ τὴν σὴν Παναοίδιμε, θείαν σκέπην, σπεύδω ὁ πανάσωτος, κράζων θερμῶς Μάρτυς τοῦ Χριστοῦ, ῥῦσαί με ἀνοίας, καὶ τῆς δεινῆς περιστάσεως, Μηνᾶ πιστῶν προστάτα, ταῖς λιταῖς πρὸς Χριστόν σου· σὲ γὰρ ἔχω θερμὸν ἀντιλήπτορα.

Ἵνα πιστῶς, σὲ ἀνυμνῶ Παμμακάριστε, μετὰ πόθου, Ἀθλητῶν τὸ καύχημα, καὶ πᾶς πιστῶς σε ἀνευφημῇ, παράσχου ἀξίως, ἡμῖν τὸν ἔλεον ἄνωθεν· πλουτεῖς γὰρ παρρησίαν, πρὸς Θεὸν οἷα Μάρτυς, ὀρθοδόξων τὸ κλέος θεόληπτε.

Θεοτοκίον.

Νόες Ἁγνή, τῶν Ἀσωμάτων στρατεύματα, τῶν ἀΰλων, τάγματα καὶ ἅπασαι, τῶν Οὐρανῶν τάξεις ἀγαθή, σὲ ὑμνολογοῦσιν, ὡς Βασιλίδα Οὐράνιον, μεθ' ὧν πᾶσα ἡ Κτίσις, προσκυνεῖ σε Κυρία, τῷ ἐλέει σου πάντας οἰκτείρησον.

Ὠδὴ Ε'. Ἵνα τί με ἀπώσω...

Ὑπὲρ ἥλιον μάκαρ, ἔλαμψας ἐν κόσμῳ ἀκτῖσι τῶν ἔργων σου, καὶ θαυμάτων ὄντως, ταῖς ἐλλάμψεσι πλείστους ἐλάμπρυνας. Διὸ πάντες πόθῳ, σὲ εὐφημοῦμεν Θεοκῆρυξ, ταῖς λιταῖς σου Μηνᾶ ἡμᾶς φώτισον.

www.tezaurliturgic.ro



Νῦν σε πίστει καὶ πόθῳ, πάντες εὐφημοῦμεν, Μηνᾶ ἀξιάγαστε, ταῖς πρὸς τὸν Δεσπότην, ἱεραῖς μεσιτείαις σου ἔνδοξε, ῥῦσαι τῶν κινδύνων, καὶ τῶν ἐχθίστων τῆς μανίας, ὡς προστάτης ἡμῶν ἀεισέβαστε.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ τῶν ἐνεστώτων κινδύνων Πανεύφημε, Ἀθλοφόρων κλέος, τοὺς πιστῶς σε τιμῶντας ἀπάλλαξον, ὡς θερμὸς προστάτης, καὶ βοηθὸς τοῖς ἐν ἀνάγκαις, Ἀθλητῶν ὡραιότης πανεύφημε.

Θεοτοκίον.

Ὦ Μητρόθεε Κόρη, Πάναγνε Θεόνυμφε Θεοχαρίτωτε, τάξεις Ἀσωμάτων, καὶ Ἁγίων ἁπάντων συστήματα, σὲ ὑμνολογοῦσιν, ὡς Βασιλίδα τῶν αἰώνων, τῷ ἐλέει σου οἴκτειρον ἅπαντας.

Ὠδὴ ΣΤʹ. Τὴν δέησιν ἐκχεῶ.

Ἀνύψωσον εὐσεβῶν κραταίωμα, τῇ ἐντεύξει σου Μηνᾶ πρὸς τὸν Κτίστην· σὺ γὰρ ἡμῶν ὁ προστάτης Παμμάκαρ, καὶ σὲ ὑμνοῦμεν ἐν πίστει θαυμάσιε, ἀπάλλαξον πᾶσαν ἡμῶν, ἀθυμίαν ἐν τάχει ἀείμνηστε.

Νοοῦντες τὴν πρὸς Θεὸν Πανθαύμαστε, παρρησίαν Μαρτύρων σου τὸ κλέος, πάντες πιστοὶ σὲ ὑμνοῦμεν ἐκ πόθου, ῥῦσαι ἡμᾶς συμφορῶν καὶ κακώσεων, λιταῖς σου πρὸς τὸν Λυτρωτήν, παρασχὼν τὰς αἰτήσεις τῶν δούλων σου.

Ναμάτων ζωοποιῶν τοῦ Πνεύματος, ἐμπλησθεί-

www.tezaurliturgic.ro



ημεν έντεύξει σου Μάκαρ, ἵνα καρποὺς ἀρετῶν ἐκβλαστῆσαι, Μηνᾶ θεόφρον, ἰσχύσωμεν ἅπαντες, τιμῶντές σου τὴν ἱεράν, καὶ σεβάσμιον Μάρτυς ἀντίληψιν.

Θεοτοκίον.

Ἡ Πάνσεπτος τοῦ Θεοῦ Λοχεύτρια, ἡ Παρθένος Θεοτόκος Μαρία, τῇ πρὸς Θεὸν ἑαυτῆς παρρησία, τῶν δυσχερῶν ἀπαλλάττει τοὺς κράζοντας· ὑμνοῦμέν σε μόνη Ἁγνή, Παναγία Θεόνυμφε Δέσποινα.

Διάσωσον παντὸς κινδύνου τοὺς εὐφημοῦντάς σε Μάρτυς, ταῖς πρὸς Χριστὸν λιταῖς σου Ἀοίδιμε, παρρησίαν πρὸς Θεὸν κεκτημένος.

Ἄχραντε εὐλογημένη Μαρία, ἱκεσίαις Μηνᾶ τοῦ Ἀθλοφόρου, οἰκτείρησον τοὺς πιστῶς σε ὑμνοῦντας.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον.

Ἦχος Β΄. Προστασία τῶν Χριστιανῶν...

Προστασία τῶν ὑμνούντων σε Θεόνυμφε, ἱκεσίαις τοῦ Ἀθλοφόρου Πανάχραντε, μὴ παρίδῃς τοὺς προσκυνοῦντάς σε Ἁγνή, ἀλλὰ σπεῦσον μόνη ἀγαθή, εἰς τὴν ἀντίληψιν ἡμῶν, τῶν πιστῶς ἐκβοώντων σοι, τάχυνον Ὑπεραγία, πρόφθασον ἡ προστασία ἡ ἀπαλλάττουσα ἀεί, τῶν κινδύνων τοὺς τιμῶντάς σε.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

www.tezaurliturgic.ro



Στῖχος. Πεφυτευμένος ἐν τῷ Οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην
(ΙΕ'. 17 - 27, ΙΣΤ'. 1 - 2)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου, οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· Ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, (τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται), ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε ὅτι ἀπ' ἀρ-

www.tezaurliturgic.ro



χῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα...

Ταῖς τοῦ Ἀθλοφόρου.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν

Ἦχος Πλ. Β'. Ὅλην ἀποθέμενοι...

Τὸν ὑπεραθλήσαντα, ἐν τῷ σταδίῳ γενναίως, Ὀρθοδόξων σύλλογος, ἐν ᾠδαῖς καὶ ᾄσμασιν εὐφημήσωμεν· οὗτος γὰρ πάντοτε, οὐ διαλείπει, τοῦ πρεσβεύειν πρὸς τὸν Κύριον, ὅπως ἂν λάβωμεν, τῶν ἁμαρτημάτων τὴν ἄφεσιν. Τούτῳ οὖν προσερχόμενοι, πίστει τε καὶ πόθῳ προσείπωμεν· Μάρτυς τοῦ Κυρίου, Μηνᾶ ἡ τῶν Μαρτύρων καλλονή, ὑπὲρ ἡμῶν μὴ ἐλλείποις σύ, πρεσβείας ποιούμενος.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κ.τ.λ.

Ὠδὴ Ζ'. Παῖδες Ἑβραίων.

Σῶσον τὸ κλέος Ἀθλοφόρων, τοὺς τιμῶντάς σε, Μηνᾶ Χριστοῦ θεράπον, παρρησίαν γὰρ σὺ πλουτεῖς πρὸς τὸν Δεσπότην, περιφρουρῶν τοὺς μέλποντας τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄνω χοροῖς τῶν Ἀσωμάτων, τὴν ὑπέρθεον ὑμνολογῶν Τριάδα, ὑπὲρ πάντων ἡμῶν τῶν πίστει σε

www.tezaurliturgic.ro



τιμώντων, δυσώπει Παμμακάριστε, λυτρωθῆναι τῶν κινδύνων.

Γένος τὸ βρότειον τιμᾷ σου, τὴν ὑπέρφωτον καὶ ἔνδοξον ἡμέραν, ἐν ὑψίστοις λαμπρῶς μετὰ τῶν Ἀσωμάτων, Τριάδα τὴν ὑπέρθεον, προσκυνῶν ἀεὶ λατρεύεις.

Θεοτοκίον.

Ἔχεις ὡς μήτηρ παρρησίαν, πρὸς τὸν Ὕψιστον τὸν σὸν Υἱὸν Παρθένε· ὑπὲρ πάντων ἡμῶν δυσώπει Παναγία, αὐτοῦ τὴν ἀγαθότητα, οἰκτειρῆσαι ἡμᾶς πάντας.

Ὠδὴ Η΄. Τὸν ἐν Ὄρει ἁγίῳ.

Ἱκετεύει Μηνᾶς ὁ Ἀθλοφόρος, σὲ τὸν πάντων Θεὸν καὶ Βασιλέα, ὑπὲρ ἡμῶν, τῶν πίστει κραυγαζόντων σοί· Κύριε τῆς δόξης, οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.

Ἀσωμάτων αἱ τάξεις καὶ Ἁγίων, δυσωποῦσι Χριστὸν τὸν Βασιλέα, ὑπὲρ ἡμῶν τῶν πίστει κραυγαζόντων σοι· Κύριε τῆς δόξης, οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.

Σὲ ὑμνοῦσιν Οὐράνιαι χορεῖαι, τὸν Παντάνακτα ὡς Κύριον τῆς δόξης, σὺν τῷ Μηνᾷ Μαρτύρων ἀγλαΐσματι· ὦ Τριὰς Ἁγία, φρούρει ἡμᾶς πάντας, τῷ θείῳ σου ἐλέει.

Θεοτοκίον.

Ἅπαν χεῖλος, πνοὴ καὶ πᾶσα Κτίσις, ἀνυμνεῖ

www.tezaurliturgic.ro



σε τὴν ὄντως Θεοτόκον, ὑπερφυῶς κυήσασαν τὸν Κύριον, τὸν Θεὸν τῶν ὅλων, ᾧ λατρεύει Κτίσις, εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ Θ'. 'Εξέστη ἐπὶ τούτῳ...

Τὸν πάντων Βασιλέα καὶ κραταιόν, ἱκετεύων μὴ παύσῃ ἀοίδιμε, ἐκδυσωπῶν, ὑπὲρ τῶν τιμώντων σε ἐκτενῶς, Μάρτυς Μηνᾶ θεόπνευστε, καὶ ἐκδεχομένων ἀει πιστῶς, ἀντίληψιν τὴν θείαν, τὴν σὴν Χριστοῦ θεράπον καὶ εὐφροσύνην, καὶ αἰωνίαν ἀπολύτρωσιν.

Θεότης ἑνιαία ἡ φοβερά, Τρισυπόστατε Κύριε Ἄναρχε, μόνε Θεέ, Ὕψιστε Παντάρχα Παμβασιλεῦ, σὲ λιτανεύει κράτιστε, ἅπασα ἡ Κτίσις ὡς πλαστουργόν, Μηνᾶς τε ὁ γενναῖος, σὺν πᾶσι τοῖς Ἁγίοις, καὶ Ἀσωμάτων τοῖς στρατεύμασι.

Θεοτοκίον.

Ὦ Πάναγνε Μαρία Μῆτερ Θεοῦ, Σεραφεὶμ ἀνωτέρα Θεόνυμφε, καὶ Χερουβείμ, πάσης Οὐρανίου τε στρατιᾶς· σὲ δυσωπεῖ Πανάχραντε, μετὰ τῶν Μαρτύρων ὁ παμφαής, Μηνᾶς ὁ Ἀθλοφόρος, οἰκτείρησον τὸν πίστει, συνθέντα τάδε τὰ ἐφύμνια.

Τὸ Ἄξιόν ἐστιν... καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζει σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀ-

www.tezaurliturgic.ro



διαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Θαυμασίων πάντων σε ὁ Χριστός, ἀνέδειξε Μάρτυς, καὶ τεράτων ὑπερφυῶν, αὐτουργὸν ἐν πίστει, ἡμᾶς τοὺς σὲ τιμῶντας, παντὸς κινδύνου σῶζε, Μηνᾶ πανένδοξε.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν, λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Μηνᾶν τὸν Ἀθλοφόρον, σὺν τῷ σεπτῷ θείῳ Βικεντίῳ, καὶ τὸν Βίκτωρα ἐν ταυτῷ, τῆς Ὀρθοδοξίας, τοὺς τρεῖς λαμπροὺς φωστῆρας καὶ τῶν Μαρτύρων κλέος ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Μὴ παύσῃ δεόμενος Ἀθλητά, τοῦ Θεοῦ τῶν ὅλων, ὑπὲρ πάντων τῶν εὐσεβῶν, σὲ μακαριζόντων, ὡς Μάρτυρα Κυρίου, ὡς ἔχων παρρησίαν, Μηνᾶ πανθαύμαστε.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Φύλαξ καὶ θερμότατος ἀρωγός, πέλων Ἀθλοφόρε, τῶν καλούντων σε ἐν παντί, πλήρου τὰς αἰτήσεις.

www.tezaurliturgic.ro



Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν, τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τὸ Τροπάριον. Ἦχος Δ΄.

Ὡς τῶν Ἀσωμάτων συνόμιλον, καὶ τῶν Ἀθλοφόρων ὁμόσκηνον, συνελθόντες ἐν πίστει, Μηνᾶ, εὐφημοῦμέν σε, εἰρήνην τῷ Κόσμῳ αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον διὰ τοὺς τρεῖς Μάρτυρας.

Ἦχος Δ΄. Ταχὺ προκατάλαβε.

Τρισάριθμον σύνθημα, τῶν Ἀθλοφόρων Χριστοῦ, ὑμνήσωμεν ἄσμασι, χαριστηρίοις πιστοί, Μηνᾶν τὸν ἀοίδιμον, Βίκτωρα τὸν γενναῖον, καὶ Βικέντιον θεῖον, πλάνην τὴν τῶν εἰδώλων, καταργήσαντας πίστει. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα ἐκτενής, καὶ ἀπόλυσις,

www.tezaurliturgic.ro



καθ' ἣν ψάλλομεν τὸ παρὸν Προσόμοιον. Ἦχος Β'

Ὅτε ἐκ τοῦ ξύλου Σε Νεκρόν...

Πάντων προσδραμόντων Ἀθλητά, πίστει τῇ θερμῇ ἀντιλήψει τῆς προστασίας σου, Ἀθλοφόρε ἔνδοξε, Μηνᾶ θαυμάσιε, προστατεύεις δωρούμενος, αἰτήματα τάχος ταῖς πρὸς τὸν Οἰκτίρμονα, λιταῖς σου ἔνδοξε. Ὅθεν δυσωποῦμεν σε Μάκαρ, οἴκτειρον ἡμᾶς ἱκετεύων, Θεὸν τὸν Παντάνακτα ἀοίδιμε.

Ὅμοιον

Πάντων· προστατεύεις ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν, ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Ὅμοιον

Πάντων, θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ ὑπάρχεις· Ἄχραντε· σπεῦσον, δυσωποῦμεν, ῥύσασθαι τοὺς δούλους Σου.

Ἦχος πλ. δ'.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β'.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν Σκέπην Σου.

www.tezaurliturgic.ro

# ΒΙΒΛΟΣ ΙΕΡΑ, Η ΚΑΛΟΥΜΕΝΗ
# ΠΝΕΥΜΑΤΙΚΟΣ ΚΗΠΟΣ.

ΠΕΡΙΕΧΩΝ

Τριάκοντα καὶ ἕξ, εἰς διαφόρους Ἁγίους Ἱερούς

## ΠΑΡΑΚΛΗΤΙΚΟΥΣ ΚΑΝΟΝΑΣ,

ΑΝΑΠΛΗΡΩΣΕΙΣ ΑΚΟΛΟΥΘΙΩΝ

Εἰς διαφόρους Ἁγίους, ὧν αἱ σωζόμεναι Ἀκολουθίαι εἰσὶν ἀτελεῖς.

ΝΕΑΣ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ ΕΙΣ ΤΙΝΑΣ ΑΓΙΟΥΣ.

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Εἰς διαφόρους Ἁγίους, Τροπάρια, διορθώσεις Τροπαρίων καὶ Κοντάκια,

Ὧν τὰ μὲν συνεγράφησαν, τὰ δὲ διωρθώθησαν χάριν εὐλαβείας, καὶ πρὸς ὠφέλειαν καὶ οἰκοδομὴν τῶν Πιστῶν

ΥΠΟ

ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ

**ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ.**

Διήρηται δὲ ἡ Βίβλος εἰς Μέρη ἢ Τόμους δύω, ἐκδοθεῖσα δαπάνῃ τοῦ Συντάκτου.

**ΤΟΜΟΣ ΠΡΩΤΟΣ.**

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Ε. ΚΑΓΙΟΛ.

1863.

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

## ΜΗΝΑΝ·

ΥΠΟ ΤΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΙΩΑΝΝΟΥ ΚΕΦΑΛΗΝΕΩΣ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Τῷ Ἀθλοφόρῳ οἱ πιστοὶ ὁμοφρόνως, δεῦτε προσπέσωμεν ὁμοῦ ἐκβοῶντες, οἱ ἁμαρτήμασι βαρούμενοι σὺν δάκρυσι· σπεῦσον παναοίδιμε, Ἀθλητὰ τοῦ Κυρίου, σαῖς πρὸς τὸν Οἰκτίρμονα ἱκεσίαις, θεόφρον, παντὸς κινδύνου, νόσων χαλεπῶν, Μηνᾶ Παμμάκαρ, ἀπάλλαξον ἅπαντας. Θεοτοκίον.

Τῇ Θεοτόκῳ μετὰ δέους ἐμφρόνως, πάντες προσδράμωμεν κραυγάζοντες πόθῳ, Ὑπεραγία Δέσποινα Πανύμνητε, ῥῦσαι τῷ ἐλέει σου, ἀδοκήτων κινδύνων, πάσης περιστάσεως, καὶ κολάσεως τάχος, καὶ τῆς πανώλους λύμης Ἀγαθή, Εὐλογημένη Μαρία Θεόνυμφε.

Ὁ Ν'. Καὶ ὁ Κανὼν οὗ ἡ Ἀκροστιχίς.

Τὸ δὴ πόθῳ σοὶ νῦν Ἰωάννης ἄγει.

### ᾨδὴ Α'. ἦχος Πλ. δ'. Ἁρματηλάτην Φαραώ...

Ταῖς πρὸς Χριστόν σου ἱκεσίαις, Ἅγιε Μηνᾶ πανεύφημε, ῥῦσαι ἡμᾶς τάχος τῶν δεινῶν καὶ θλίψεων, καὶ πάσης περιστάσεως, καὶ νοσήματος μάκαρ· σὲ γὰρ προστάτην κεκτήμεθα, πρὸς Θεόν, Πανεύφημε ἅπαντες.

Ὄλβιος πέλεις παῤῥησίαν κτώμενος, πρὸς τὸν Χριστόν, Ἀθλητά· δώρησαι σοῖς δούλοις, τὰς αἰτήσεις τάχιστα· πίστει γάρ σοι κραυγάζουσιν, Ἀθλοφόρων τὸ κλέος, Μηνᾶ Μαρτύρων ἀγλάϊσμα, ῥῦσαι τοὺς πιστοὺς εὐφημοῦντάς σε.

www.tezaurliturgic.ro



Δόξης ἐνθέου, ἱερᾶς λαμπρότητος εἰς τὰ Οὐράνια, ἀξιωθεὶς μάκαρ, λάμψει τῶν ἀγώνων σου, παράσχου τοῖς ἱκέταις σου, τὰ αἰτήματα Μάρτυς, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου, ἔνδοξε Μηνᾶ ἀξιάγαστε. Θεοτοκίον.

Η ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, εὐλογημένη Ἁγνή, ἄνθος δωρημάτων, Παρθενίας τέμενος, τοῦ Οὐρανοῦ ὑπέρτερε, Παραδείσου τὸ κάλλος, τῶν Ἀσωμάτων εὐπρέπεια, ῥῦσαι τοὺς πιστῶς προσκυνοῦντάς σε.

ᾨδὴ Γ'. Οὐρανίας Ἀψῖδος...

Παροξύνας ἀμέτρως τὸν Λυτρωτὴν ἔνδοξε, πράξεσι μυρίοις καὶ κακουργήμασι, νῦν περιπέπτωκα, δεινοῖς παντοίοις ὁ τάλας, ἐξ ὧν με ἀπάλλαξον ταῖς ἱκεσίαις σου.

Ο Θεός σε Παμμάκαρ τῶν Ἀθλητῶν καύχημα, ἔδειξεν ἐν κόσμῳ προστάτην τῶν εὐφημούντων σε. Διὸ οἰκτείρησον ταῖς πρὸς Χριστόν σου πρεσβείαις, τοὺς πιστῶς τιμῶντάς σε, Μηνᾶ θαυμάσιε.

Θαυμασίων σε μάκαρ, ὑπερφυῶν ἔνδοξε, γνόντες αὐτουργόν σε θεόφρον, πάντες οἰόμεθα πλουτεῖν σε Ἅγιε, πρὸς τὸν Χριστὸν παῤῥησίαν, ὃν ἡμῖν ἱλέωσαι, Μηνᾶ ἀοίδιμε. Θεοτοκίον.

Ως πανάμωμος Μήτηρ τοῦ ποιητοῦ Ἄχραντε, ὡς ἁγιωτέρα ἁπάντων τῶν ἄνω Δέσποινα, ὡς πάντων ἄνασσα, Εὐλογημένη Μαρία, ῥῦσαι τοὺς ὑμνοῦντάς σε Ἀειμακάριστε.

ᾨδὴ Δ'. Σύ μου ἰσχὺς Κύριε...

Σύ με ἀεὶ Ἅγιε τῶν περιστάσεων, σὺ κινδύνων, σὺ καὶ τῆς κολάσεως, παντὸς κακοῦ καὶ τῶν δυσχερῶν, ταῖς πρὸς τὸν Δεσπότην ἀπάλλαττε ἱκεσίαις σου, Μαρτύρων ἡ λαμπρότης, Ὀρθοδόξων τὸ κλέος, παρασχὼν τὰ αἰτήματα τάχιστα.

Ολοσχερῶς ἐπὶ τὴν σὴν Παναοίδιμε, θείαν σκέπην σπεύδω ὁ πανάσωτος, κράζων θερμῶς Μάρτυς τοῦ Χριστοῦ, ῥῦσαί με ἀνοίας καὶ τῆς δεινῆς περιστάσεως, Μηνᾶ πιστῶν προστάτα,

www.tezaurliturgic.ro



ταῖς λιταῖς πρὸς Χριστόν σου· σὲ γὰρ ἔχω θερμὸν ἀντιλήπτορα.

Ἵνα πιστῶς, σὲ ἀνυμνῶ Παμμακάριστε, μετὰ πόθου Ἀθλητῶν τὸ καύχημα, καὶ πᾶς πιστῶς σὲ ἀνευφημῇ, παράσχου ἀξίως ἡμῖν τὸν ἔλεον ἄνωθεν· πλουτεῖς γὰρ παῤῥησίαν, πρὸς Θεὸν οἷα Μάρτυς, ὀρθοδόξων τὸ κλέος θεόληπτε. Θεοτοκίον.

Νόες Ἁγνὴ, τῶν Ἀσωμάτων στρατεύματα, τῶν ἀΰλων τάγματα καὶ ἅπασαι τῶν Οὐρανῶν τάξεις ἀγαθὴ, σὲ ὑμνολογοῦσιν ὡς Βασιλίδα Οὐράνιον, μεθ᾽ ὧν πᾶσα ἡ Κτίσις προσκυνεῖ σε Κυρία, τῷ ἐλέει σου πάντας οἰκτείρησον.

## ᾨδὴ Ε΄. Ἵνα τί με ἀπώσω...

Ὑπὲρ ἥλιον μάκαρ, ἔλαμψας ἐν κόσμῳ ἀκτῖσι τῶν ἔργων σου, καὶ θαυμάτων ὄντως, ταῖς ἐλλάμψεσι πλείστους ἐλάμπρυνάς. Διὸ πάντες πόθῳ, σὲ εὐφημοῦμεν Θεοκῆρυξ, ταῖς λιταῖς σου Μηνᾶ ἡμᾶς φώτισον.

Νῦν σε πίστει καὶ πόθῳ, πάντες εὐφημοῦμεν, Μηνᾶ ἀξιάγαστε, ταῖς πρὸς τὸν Δεσπότην, ἱεραῖς μεσιτείαις σου ἔνδοξε, ῥῦσαι τῶν κινδύνων, καὶ τῶν ἐχθίστων τῆς μανίας, ὡς προστάτης ἡμῶν ἀεισέβαστε.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ τῶν ἐνεστώτων κινδύνων Πανεύφημε, Ἀθλοφόρων κλέος, τοὺς πιστῶς σε τιμῶντας ἀπάλλαξον, ὡς θερμὸς προστάτης, καὶ βοηθὸς τοῖς ἐν ἀνάγκαις, Ἀθλητῶν ὡραιότης πανεύφημε. Θεοτοκίον.

Ὦ Μητρόθεε Κόρη, Πάναγνε Θεόνυμφε Θεοχαρίτωτε, τάξεις Ἀσωμάτων καὶ Ἁγίων ἁπάντων συστήματα, σὲ ὑμνολογοῦσιν ὡς Βασιλίδα τῶν αἰώνων, τῷ ἐλέει σου οἴκτειρον ἅπαντας.

## ᾨδὴ ΣΤ΄. Τὰ νέφη τῶν λυπηρῶν...

Ανύψωσον εὐσεβῶν κραταίωμα, τῇ ἐντεύξει σου Μηνᾶ πρὸς τὸν Κτίστην· σὺ γὰρ ἡμῶν ὁ προστάτης Παμμάκαρ, καὶ σὲ ὑμνοῦμεν ἐν πίστει θαυμάσιε, ἀπάλλαξον πᾶσαν ἡμῶν ἀθυμίαν ἐν τάχει ἀείμνηστε.

www.tezaurliturgic.ro



Νοοῦντες τὴν πρὸς Θεὸν Πανθαύμαστε, παῤῥησίαν σου Μαρτύρων τὸ κλέος, πάντες πιστοὶ σὲ ὑμνοῦμεν ἐκ πόθου, ῥῦσαι ἡμᾶς συμφορῶν καὶ κακώσεων, λιταῖς σου πρὸς τὸν Λυτρωτὴν, παρασχὼν τὰς αἰτήσεις τῶν δούλων σου.

Ναμάτων ζωοποιῶν τοῦ Πνεύματος, ἐμπλησθείημεν ἐντεύξει σου Μάκαρ, ἵνα καρποὺς ἀρετῶν ἐκβλαστῆσαι, Μηνᾶ θεόφρον, ἰσχύσωμεν ἅπαντες, τιμῶντές σου τὴν ἱερὰν, καὶ σεβάσμιον Μάρτυς, ἀντίληψιν. Θεοτοκίον.

Ἡ Πάνσεπτος τοῦ Θεοῦ Λοχεύτρια, ἡ Παρθένος Θεοτόκος Μαρία, τῇ πρὸς Θεὸν ἑαυτῆς παῤῥησίᾳ, τῶν δυσχερῶν ἀπαλλάττει τοὺς κράζοντας· ὑμνοῦμέν σε μόνη Ἁγνὴ, Παναγία Θεόνυμφε Δέσποινα.

Διάσωσόν παντὸς κινδύνου τοὺς εὐφημοῦντάς σε Μάρτυς, ταῖς πρὸς Χριστὸν λιταῖς σου Ἀοίδιμε, παῤῥησίαν πρὸς Θεὸν κεκτημένος.

Ἄχραντε εὐλογημένη Μαρία, ἱκεσίαις Μηνᾶ τοῦ Ἀθλοφόρου, οἰκτείρησον τοὺς πιστῶς σε ὑμνοῦντας.

*Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον*

## Προστασία τῶν Χριστιανῶν...

Προστασία τῶν ὑμνούντων σε Θεόνυμφε, ἱκεσίαις τοῦ Ἀθλοφόρου Πανάχραντε, μὴ παρίδῃς τοὺς προσκυνοῦντάς σε Ἁγνὴ, ἀλλὰ σπεῦσον μόνη ἀγαθὴ εἰς τὴν ἀντίληψιν ἡμῶν τῶν πιστῶς ἐκβοώντων σοι τάχυνον Ὑπεραγία, πρόφθασον ἡ προστασία, ἡ ἀπαλλάττουσα ἀεὶ τῶν κινδύνων τοὺς τιμῶντάς σε.

*καὶ εὐθὺς τὸ Προκείμενον*, ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθίσει.

Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς ταῦτα ἐντέλλομαι κτλ. (Ζήτει Ἀπριλίου 23).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

www.tezaurliturgic.ro



Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν, ποιηθὲν υπο τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι...

Τὸν ὑπεραθλήσαντα ἐν τῷ σταδίῳ γενναίως, Ὀρθοδόξων σύλλογος, ἐν ᾠδαῖς καὶ ᾄσμασιν εὐφημήσωμεν· οὗτος γὰρ πάντοτε, οὐ διαλείπει τοῦ πρεσβεύειν πρὸς τὸν Κύριον, ὅπως ἂν λάβωμεν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν. Τούτῳ οὖν προσερχόμενοι, πίστει τε καὶ πόθῳ προσείπωμεν, Μάρτυς τοῦ Κυρίου, Μηνᾶ ἡ τῶν Μαρτύρων καλλονὴ ὑπὲρ ἡμῶν μὴ ἐλλείποις σὺ, πρεσβείας ποιούμενος.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

ᾠδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Σῶσον τὸ κλέος Ἀθλοφόρων, τοὺς τιμῶντάς σε Μηνᾶ Χριστοῦ θεράπον, παῤῥησίαν γὰρ σὺ πλουτεῖς πρὸς τὸν Δεσπότην, περιφρουρῶν τοὺς μέλποντας τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄνω χοροῖς τῶν Ἀσωμάτων, τὴν ὑπέρθεον ὑμνολογῶν Τριάδα, ὑπὲρ πάντων ἡμῶν τῶν πίστει σε τιμώντων, δυσώπει Παμμακάριστε λυτρωθῆναι τῶν κινδύνων.

Γένος τὸ βρότειον τιμᾷ σου τὴν ὑπέρφωτον καὶ ἔνδοξον ἡμέραν, ἐν ὑψίστοις λαμπρῶς μετὰ τῶν Ἀσωμάτων, Τριάδα τὴν ὑπέρθεον προσκυνῶν ἀεὶ λατρεύεις. Θεοτοκίον.

Ἔχεις ὡς μήτηρ παῤῥησίαν, πρὸς τὸν Ὕψιστον τὸν σὸν Υἱὸν Παρθένε· ὑπὲρ πάντων ἡμῶν δυσώπει Παναγία, αὐτοῦ τὴν ἀγαθότητα, οἰκτηρῆσαι ἡμᾶς πάντας.

ᾠδὴ Η΄. Τὸν ἐν Ὄρει ἁγίῳ.

Ἱκετεύει Μηνᾶς ὁ Ἀθλοφόρος, σὲ τὸν πάντων Θεὸν καὶ Βασιλέα, ὑπὲρ ἡμῶν τῶν πίστει κραυγαζόντων σοι· Κύριε τῆς δόξης οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.

Ἀσωμάτων αἱ τάξεις καὶ Ἁγίων, δυσωποῦσι Χριστὸν τὸν Βασιλέα, μετὰ Μηνᾶ τοῦ Θείου καὶ Θεόφρονος· Κύριε τῆς δόξης, οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.

www.tezaurliturgic.ro



Σὲ ὑμνοῦσιν Οὐράνιαι χορεῖαι, τὸν Παντάνακτα ὡς Κύριον τῆς δόξης, μετὰ Μηνᾶ Μαρτύρων τὸ ἀγλάϊσμα· ὢ Τριὰς Ἁγία, φρούρει ἡμᾶς πάντας τῷ θείῳ σου ἐλέει. Θεοτοκίον.

Ἄπαν χεῖλος, πνοὴ καὶ πᾶσα Κτίσις, ἀνυμνεῖ σε τὴν ὄντως Θεοτόκον, ὑπερφυῶς κυήσασαν τὸν Κύριον, τὸν Θεὸν τῶν ὅλων, ᾧ λατρεύει Κτίσις εἰς πάντας τοὺς αἰῶνας.

## ᾠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ...

Τὸν πάντων Βασιλέα καὶ κραταιὸν, ἱκετεύων μὴ παύσῃ ἀοίδιμε ἐκδυσωπῶν, ὑπὲρ τῶν τιμώντων σε ἐκτενῶς, Μάρτυς Μηνᾶ θεόπνευστε, καὶ ἐκδεχομένων ἀεὶ πιστῶς, ἀντίληψιν τὴν θείαν, τὴν σὴν Χριστοῦ θεράπων, καὶ εὐφημούτων σε ἀείμνηστε.

Ἐπίβλεψον ἐξ ὕψους, Παμβασιλεῦ, τῷ ἀπείρῳ ἐλέει σου Κύριε, ὡς ἀγαθὸς, οἴκτειρον τὸν κόσμον σου κραταιὲ, λιταῖς τοῦ Ἀθλοφόρου σου, λύων τὴν κατήφειαν τὴν ἡμῶν, ὡς μόνος εὐεργέτης, παρέχων εὐφροσύνην, καὶ αἰωνίαν ἀπολύτρωσιν.

Θεότης ἑνιαία ἡ φοβερὰ, Τρισυπόστατε Κύριε Ἄναρχε, μόνε Θεὲ, Ὕψιστε Παντάρχα Παμβασιλεῦ, σὲ λιτανεύει κράτιστε, ἅπασα ἡ Κτίσις ὡς πλαστουργὸν, Μηνᾶς τε ὁ γενναῖος, σὺν πᾶσι τοῖς Ἁγίαις, καὶ Ἀσωμάτων τοῖς στρατεύμασι. Θεοτοκίον.

Ὦ Πάναγνε Μαρία Μῆτερ Θεοῦ, Σεραφὶμ ἀνωτέρα Θεόνυμφε, καὶ Χερουβὶμ, πάσης Οὐρανίου τε στρατιᾶς· σὲ δυσωπεῖ Πανάχραντε, μετὰ τῶν Μαρτύρων ὁ Παμφαὴς, Μηνᾶς ὁ Ἀθλοφόρος, οἰκτείρησον τὸν πίστει, συνθέντα τάδε τὰ ἐφύμνια.

*Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια*

Θαυμασίων πάντων σε ὁ Χριστὸς, ἀνέδειξε Μάρτυς, καὶ τεράτων ὑπερφυῶν, αὐτουργὸν διὸ πίστει τοὺς σὲ τιμῶντας, παντὸς κινδύνου σῶζε, Μηνᾶ πανένδοξε.

*Παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.*

Μηνᾶν τὸν Ἀθλοφόρον, σὺν τῷ σεπτῷ θείῳ Βικεντίῳ, καὶ τὸν Βίκτωρα ἐν ταὐτῷ, τῆς Ὀρθοδοξίας τοὺς τρεῖς λαμπροὺς φωστῆρας, καὶ τῶν Μαρτύρων κλέος, ὕμνοις τιμήσωμεν.

www.tezaurliturgic.ro



**Μ**ὴ παύσῃ δεόμενος Ἀθλητὰ, τοῦ Θεοῦ τῶν ὅλων, ὑπὲρ πάντων τῶν εὐσεβῶς σὲ μακαριζόντων, ὡς Μάρτυρα Κυρίου, ὡς ἔχων παῤῥησίαν, Μηνᾶ πανθαύμαστε.

**Τ**οὺς μετ' εὐλαβείας τὴν ἱερὰν, Εἰκόνα σου Μάρτυς, προσκυνοῦντας σαῖς πρὸς Θεὸν, ἱεραῖς πρεσβείαις, φρουρῶν μὴ διαλείπῃς, τῶν Ἀθλοφόρων κλέος, Μηνᾶ τρισόλβιε.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

*Τρισάγιον· Καὶ τὸ Τροπάριον. Ἦχος Δ'.*

**Ω**ς τῶν Ἀσωμάτων συνόμιλον καὶ τῶν Ἀθλοφόρων ὁμόσκηνον, συνελθόντες ἐν πίστει, Μηνᾶ εὐφημοῦμέν σε, εἰρήνην τῷ Κόσμῳ αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεύς Ἐλέησον ἡμᾶς ὁ Θεός...

*Ἐν δὲ τῷ τέλει ψάλλεται τὸ παρὸν, ἦχος Β'.*

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

**Π**άντων προσδραμόντων Ἀθλητὰ, πίστει τῇ θερμῇ ἀντιλήψει τῆς προστασίας σου, Ἀθλοφόρε ἔνδοξε Μηνᾶ θαυμάσιε, προστατεύεις δωρούμενος αἰτήματα τάχος, ταῖς πρὸς τὸν Οἰκτίρμονα λιταῖς σου ἔνδοξε. Ὅθεν δυσωποῦμέν σε Μάκαρ, οἴκτειρον ἡμᾶς ἱκετεύων, Θεὸν τὸν Παντάνακτα ἀοίδιμε.

ΤΕΛΟΣ.